δὲ ἀργὸν κεῖται, παρὰ Ἀττικοῖς· ὅτι. μάλιστα, ἀντὶ, μάλιστα· ποτὲ δὲ ἐπὶ δηλώσει καὶ δήσει ἀναιτίου τίθεται· οἷον. ὅτι ἡ θάλασσα ἁλμυρὰ, οἶδα. ποτὲ δὲ ἐπὶ ἁπλῶς δηλώσει πράγματος παντός· οἷον· ὁ δεῖνα λέγει, ὅτι φιλῶ τὸν δεῖνα· ἐκλαμβάνεται δὲ ἀντὶ τοῦ, τοῦτο. οἷον. λέγει τοῦτο, φιλῶ τὸν δεῖνα. μετὰ δὲ τοῦ, μὴ, κείμενον, ἀντὶ τοῦ, μὴ μόνον, κεῖται. ὡς καὶ παρὰ τῷ Θεολόγῳ· εἴπωμεν, ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς, μὴ ὅτι τοῖς δι' ἀγάπην τι πεποιηκόσιν ἢ πεπονθόσιν.

## Ad cap. 23.

Στάσις λέγεται μάχη δύο ἀμφιβαλλόντων περί τι. ὡς καὶ παρὰ τῷ Δημοσθένει πᾶσα διαδικασία στάσις προσηγόρευται· καὶ στάσις ἡ ἀνυποταξία· ἔνστασις δὲ τὸ ἀνένδοτον περί τι.

## Ad cap. 24.

Τὸ κακὸν οὐκ ἔχει ἰδίαν ὑπόστασιν ἀλλ' ἔκπτωσίς ἐστι τοῦ καλοῦ· ἡ στέρησις γὰρ τοῦ καλοῦ ἐστιν κακόν· ὡς

ἀναιτίου) *vt caussam non reddat, caussalis non sit.*

ἐπὶ ἁπλῶς δηλώσει) sic solet, non ἁπλῇ v. ad c. 15. c. 11. c. 42. mox ἐκλαμβάνεται est, *exponitur, intelligitur* v. Budaeum Comm. Gr. L. p. 563.

Θεολόγῳ) Gregorio Naz. Orat. XIV. extr. p. 223. sed locus inde mala fide excerptus, cum ibi ita legatur: εἴπωμεν, ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς, ἂν ἄρα δέχωνται.

πᾶσα διαδικασία στάσις) v. inf. ad c. 48.

ὡς ἡ στέρησις τῆς ὑγείας νόσος· καὶ ἡ στέρησις τῆς ἡμέρας νύξ. καὶ ἡ στέρησις τοῦ ἴσου ἄνισον· ἐστὶ δὲ τὸ αἰσχρὸν ἐπίτασις τοῦ κακοῦ· καὶ λέγει ὁ σοφὸς ἐνταῦθα· εἰ ἔχεις τὸ τοιοῦτον, ὅσον ὁ λογισμὸς ὑποτίθησι, κακὸν, ἀδυνατήσεις εἶναι ἐν τῷ τοιούτῳ κακῷ· μᾶλλον δὲ πλέον ἀδυνατήσεις, εἰ τύχοι τὸ τοιοῦτο κακὸν, λογίζεσθαι καὶ αἰσχρόν.

Ἔργον λέγεται τὸ ἔκ τινος ἐπιτηδεύματος ἀποτελούμενον· οἷον ὁ οἶκος· ὡς λέγομεν. ἐποίησεν ἔργον ὁ τέκτων· λέγεται καὶ ἡ ἐργασία, οἷον, ἡ περὶ τὸ δρᾷν κίνησις τοῦ τεχνίτου· ἤτοι τὸ συντιθέναι λίθον ἐπὶ λίθῳ, τῷ πρίονι τέμνειν, καὶ τἄλλα ποιεῖν. καθὸ σημαινόμενόν ἐστιν ἐνταῦθα καὶ τὸ ἔργον· καὶ πάλιν, ὡς λέγομεν· ὁ δεῖνα ἔχει ἔργον, ἤτοι ἐργασίαν· Ἀπὸ τούτου λέγεται τροπικῶς ἔργον καὶ τὸ ἀναγκαιότατον καὶ σπουδαιότατον· ὡς λέγομεν· ὁ δεῖνα ἔργον ποιεῖται συλλαβεῖν τὸν δεῖνα· τοῦτο λέγεται καὶ προὔργου, ἤτοι, πρὸ παντὸς ἔργου· λέγεται ἔργον καὶ τὸ ἐργῶδες, ἤτοι δυσχερές· ὡς λέγομεν· ἔργον ἐστὶν, ἵνα καταστροπώσασθαι πολλοὺς, καὶ ἔνοπλον ὡπλισμένους.

Τὸ οὐ, μόνον κείμενον, ἀεὶ ἀπόφασιν ἔχει· οἷον· ὁ δεῖνα οὐ γράφει· ποτὲ δὲ κατάφασιν, ὅτε ἔχει ἔμπροσθεν στερήσεως δηλωτικὴν λέξιν, καὶ, κείμενον πρὸ ἐκείνης, ἀναιρεῖ τὴν στέρησιν· οἷον· οὐκ ἄγραφος, ἀλλὰ, δηλονότι, γεγραμμένος· ποτὲ δὲ ἀργὴ κεῖται. οἷον· οὐ μὴ εἴπω· ἤτοι οὐχ εἴπω. ὥσπερ ἐστὶ καὶ ἐνταῦθα ἄνω

μὲν πραγματικῶς κείμενον τὸ, οὐδὲν οὐδαμοῦ· καὶ μετ' ὀλίγον τὸ, οὐδεὶς οὐδαμοῦ· ἀντὶ τοῦ, οὐδεὶς παντελῶς· τὸ γὰρ τοπικὸν ἐπίῤῥημα οὐκ ἔστι τόπου δηλωτικὸν, καὶ κατὰ τὴν σημασίαν, ἐνταῦθα. ὡς καὶ ἐν ἄλλοις, καὶ παρὰ Συνεσίῳ· τοῦ γὰρ ἱερέως, εἰς ἰδίαν ὑπόθεσιν περιιδεῖν ἀγώγιμον ἄνθρωπον;

Ἀργύριον, ὁ ἄργυρος, καὶ ἀργύριον, τὰ ἀπὸ χρυσοῦ νομίσματα.

Ὡς λέγεται νοήμων, ὁ νοῶν. καὶ ἐλεήμων, ὁ ἐλεῶν· οὕτω λέγεται καὶ αἰδήμων, ὁ αἰδούμενος. ἐξ οὗ συνάγεται τὸ ἔντιμον.

Ὁδὸς λέγεται ἡ λεωφόρος. λέγεται τροπικῶς καὶ ἀπὸ ταύτης, ὁ τρόπος ἤτοι ὁ μεταχαρισμὸς· ὅ ἐστιν ἡ ἐπιτηδειότης, δι' ἧς ἀνύομέν τι, ὡς ἐνταῦθα.

Πατὴρ, ὁ γεννήσας λέγεται, ἤγουν ὁ σπείρας, ἀλλὰ καὶ ὁ πρόγονος, ἤτοι ὁ πάππος, καὶ ὁ πρόπαππος· καὶ, γεννᾷ ὁ πατὴρ, ἤτοι σπείρει, καὶ παρὰ τοῖς Ἕλλησι καὶ παρὰ τῇ θείᾳ γραφῇ· ὁ μὲν γὰρ τῶν εὐαγγελιστῶν λέγει· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ, καὶ καταβαίνει μέχρι πολλῶν, καὶ τελᾶται εἰς τὸν Ἰωσήφ. ὁ δὲ — ἦν υἱὸς τοῦ Ἰωσήφ. καὶ ἀναβαίνει μέχρι καὶ τοῦ Ἀδάμ.

πα-

Συνεσίῳ) epist. XIV. vnde ad sententiam perficiendam adde: *ἐν νηστίμοις ἡμέραις. qui enim sacerdotis est, iudicatum ac prehensum hominem sua praesertim caussa pati, ieiunii tempore?*

ὁ δὲ — ἦν υἱὸς) Supple ὁ δὲ n. λέγει· καὶ αὐτὸς ἦν v. Lucae Euang. III, 23. & Matth. I, 2.

Πατρὶς δὲ λέγεται ὁ τόπος, ἔνθα ἄν γεννηθείη τις. λέγεται ἡ πατρὶς καὶ παρὰ τοῖς Κρησὶ μητρίς.

Οἱ Ἀττικοὶ καὶ, ὅσον ἐπ' ἐμοὶ, καὶ, τὸ ἐπ' ἐμοὶ, καὶ, τὸ ἀπ' ἐμοῦ, καὶ, τὸ κατ' ἐμὲ, ἀντὶ τοῦ· κατὰ τὴν ἐμὴν προαίρεσιν. καὶ ἐπὶ δευτέρου προσώπου· ὅσον ἐπί σοι, καὶ τὸ ἀπό σου, καὶ, τὸ κατά σε. ἀντὶ τοῦ, κατὰ τὴν σὴν προαίρεσιν· καὶ ἐπὶ τρίτου προσώπου· ὅσον ἐπ' ἐκείνῳ· καὶ, τὸ ἀπ' ἐκείνου· καὶ, τὸ κατ' ἐκεῖνον· ἀντὶ τοῦ· κατὰ τὴν ἐκείνου προαίρεσιν, λέγουσιν.

Βαλανεῖον, τὸ λουτρόν· βαλανεὺς, ὁ τούτου ἐπιμελούμενος· ἡ ἐπιμελουμένη δὲ γυνὴ, βαλανεύτρια.

Τὰ ἄνω τῆς κεφαλῆς, καλλωπισμοῦ ἕνεκεν, κείμενα, ἀναδήματα λέγεται· τὰ δὲ μέσον τοῦ σώματος, διαδήματα· τὰ δὲ τοὺς πόδας ἢ κοσμοῦντα ἢ ἐξασφαλίζοντα, ὑποδήματα.



παρὰ τοῖς Κρησὶ μητρὶς) v. Synef. ep. 93. cf. Steph. Thef. T. II. p. 827. B.

μέσον τοῦ σώματος, διαδήματα) deb. διὰ μέσου. poſſunt autem haec noue dicta videri, cum διάδημα nihil aliud, quam ἀνάδημα, *capitis ornamentum*, proprie ſit. Sed & Schol. Ariſtoph. Plut. 589. τὸ δὲ ἀναδεῖν ταυτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν — ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν, τὸ ὑποδεῖν· ἐξ οὗ καὶ τὸ ὑπόδημα. τὸ μέντοι διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδουμένου δι' ὅλου σώματος. Suidas: διάδημα, τὸ βασιλικὸν ἔνδυμα, τὸ στέμμα.

Η, διά, πρόθεσις, αἰτίαν δηλοῦσα, διττὴν ἔχει τὴν ἔννοιαν· γράφω βιβλίον διὰ τὸν παῖδα· ἤγουν, ἵνα ὁ παῖς ἔχοι· καί, γράφω βιβλίον διὰ τὸν παῖδα, ἤγουν, τοῦ παιδὸς τὰ πρὸς τὴν χρείαν τοῦ βιβλίου παρασχόντος· καθὸ σημαινόμενον λέγεται καὶ τὸ ἐνταῦθα. ἔστι[*] δὲ ἡ ἔννοια τοιαύτη· ὡς οὐδὲ ὑποδήματα ἔχει, ὄντος σκυτέως, οὐδὲ ὅπλα, ὄντος χαλκέως, καὶ οὐδὲν χρήζει τούτου· οὕτως δυναμένου σου στοὰς ποιῆσαι ἢ βαλανεῖα, οὐ χρείαν ἕξει τούτων· καὶ μὴ ὄντος σου, καὶ μὴ δυναμένου, οὐ προσδεηθήσεται τούτων· ἡ πόλις γὰρ οὐδὲ ὑποδήματα φορεῖ, ὡς οἱ ἄνθρωποι, οὔτε ὅπλα.

Δύνασαι, κοινὸν ἐπὶ δευτέρου προσώπου· δύνῃ δὲ διὰ τοῦ η, ἀττικῶς, μετὰ προσγεγραμμένου ι.

Τὸ ὄφελος, ὃ κοινὸν ἀκομιά ἐστι, καὶ ἦδος, διὰ τοῦ η, ὃ ποιητικόν ἐστι, καὶ τὸ ἦμαρ, ἡ ἡμέρα, ὃ καὶ αὐτὸ ποιητικόν ἐστι, ἄκλιτά ἐστιν.

Αἰδήμων λέγεται ὁ αἰδούμενος, ἤγουν, ὁ αἰδέσιμος, ὅ ἐστιν, ὁ μὴ ἀναίσχυντος· ὁ μὴ τοιοῦτος δὲ, ἀναιδὴς λέγεται.

Ἐτελέσθη καὶ ἀπετελέσθη τὸ αὐτό· ἔν τισι γὰρ τῶν συνθέτων τὴν ἑαυτῆς σημασίαν ἡ, ἀπὸ, πρόθεσις φυλάσσει· οἷον· ἀπῆλθε, ἀντὶ τοῦ· μακρὰν ἦλθεν· ἔν τισι δὲ ἀργή ἐστιν· οἷον· ἀπισχυρίζεται, καὶ ἀποτελεῖται, ὡς ἐνταῦθα.

Ad

[*] ἔστι δὲ οἱ ἔννοια) valdè puerilis & inepta haec interpretatio.